πιθολοῦν οὐκ αἰσχύνονται τὰ τῶν Χριστιανῶν ἀπόῤῥητα; Τοὺς γὰρ Ἄγγλους, ἄνδρας καίτοι μεγαλονοίᾳ διαφέροντας, τὸ ἀκαταμέτρητον καὶ ἀπέραντον τουτὶ διάστημα, αὐτὴν εἶναι τὴν Θεοῦ φύσιν, τὴν πανταχοῦ προϊοῦσαν, φρονοῦντάς τε καὶ διδάσκοντας ἀκούων, οὐκ ἂν θαυμάσαιμι, εἰδὼς ἄλλως φύσει φαντιῶντας, καὶ περὶ τὰ ἀτοπώτατα διὰ θράσους περιουσίαν ἐκτραχηλισθέντας (1).

Ἀπαντῶ τοιγαροῦν πρὸς τὰ ἐκ τῆς τῶν Χριστιανῶν θεολογίας λαμβανόμενα. Πρώτιστον τῆς Χριστιανῶν θεολογίας κεφάλαιόν ἐστιν, ὅτι ἡ τοῦ Θεοῦ φύσις πάντῃ τοῖς ἀνθρώποις ἐστὶν ἀκατάληπτος· ἴσμεν γὰρ ἤδη δηλονότι ἐκ μέρους, καὶ ἐν αἰνίγμασι, καὶ διανοίᾳ πεπερασμένῃ χωρῆσαι τὸ ἄπειρον, τῶν ἀδυνάτων εἶναι ἡγούμεθα. Ὅτι μὲν οὖν ἀπέραντος, καὶ πανταχοῦ παρὼν ὁ Θεὸς, καὶ φρονοῦμεν καὶ πεπιστεύκαμεν. Ἀλλ' ὅτι δὴ ἥκιστα τῇ ὕλῃ συνδιαχωρεῖ τὸ θεῖον καὶ συνεκτείνεται, οὐδὲ τῆς ὕλης οὐσία τυγχάνει ὂν, οὐχ ἧττον πίστει κατέχειν εἰρήμεθα· ἐξ οὗ μηδὲ τὸν τρόπον, καθ' ὃν πανταχοῦ πάρεστι Θεὸς, ἡμᾶς εἰδέναι ἀκόλουθον. Οἴδαμεν ἄρα ὡς πάρεστι πανταχοῦ, ὅπως δὲ οὐδαμῶς. Ἀλλὰ καὶ διὰ πάντων ἐνεργεῖν, πάντα τε κινεῖν, καὶ συνέχειν, καὶ τοῦτο ἴσμεν· ἀλλὰ καὶ ὅτι τῆς τοῦ παντὸς οὐσίας ἡ θεία καὶ ὑπερούσιος διακρίνεται, οὐδὲν ἔλαττον. Τὸ γὰρ ἐκ τῶν ἀποῤῥητοτέρων, καὶ ὧν ἡ γνῶσις ἀνέφικτος, ἐπὶ τὰ καθ' ἡμᾶς μεταπίπτειν, καὶ τὰς φύσεις τῶν ὄντων ἐκ τῶν ὑπερφυῶν μυστηρίων ἐπιχειρεῖν ἀναπτύσσειν, ἢ τὸ ἀνάπαλιν ἐξ ἐκείνων ταῦτα, θρασύτητος καὶ ἀπονοίας προφανὲς οἶμαι τυγχάνει τεκμήριον.

## Πρότ. ι'.

„Οὐκ ἔστι τὰ σώματα τρόπων ἕνωσις ἄνευ οὐσίας. Ἐπειδὴ γὰρ οἱ τρόποι
„ἐσωτερικῶς τῆς οὐσίας εἰσὶν ἀπηρτημένοι, οὐκ ἔχουσι καθ' ἑαυτοὺς ὑπάρχειν
„ἄνευ οὐσίας.

## Πρότ. ια'.

„Ἡ τῶν σωμάτων οὐσία οὐκ ἔστι μία.

## Δεῖξις.

Ἡ γὰρ οὐσία ἐστὶν ὂν ἁπλοῦν (Πρ. ΚΒ'.)· οὐκ ἄρα ἐκ μερῶν πράγματι ἀλ-

(1) Οὐ γὰρ εἰκὸς, οὐδὲ πρέπον, ὥσπερ ἔνιοι φιλόσοφοι λέγουσι, τὸν Θεὸν ἐν ὕλῃ πάντα παχείσῃ, καὶ πράγμασι μυρίας δεχομένοις ἀνάγκας, καὶ τύχας, καὶ μεταβολὰς, ὑπάρχειν ἀναμεμιγμένον. Ἀλλ' ἡμῖν ἄνω που περὶ τὴν ἀεὶ καὶ ταῦτα ὡσαύτως φύσιν ἔχουσαν ἱδρυμένος ἐν βάθροις ἁγίοις, ἧ φησι Πλάτων, εὐθεῖα περαίνει κατὰ φύσιν περιπορευόμενος (Πλάτ. πρὸς ἡγεμόνα ἀπαίδευτον).

λήλων διακεκριμένων ἔχει τὴν ὁλοσχέρειαν, οὐδὲ διαιρετὴ οὖσα τυγχάνει. Εἰσὶ δὲ τὰ σώματα διαιρετὰ, ϗ ἑπομένως σύνθετα. Η῾ ἄρα τῶν σωμάτων οὐσία μία οὐκ ἔςι (ὅρα τὴν ΚΓ'.).

## Πρότ. ϟβ'.

„Ἐὰν ἐκτεταμένον προςεθῇ ἐκτεταμένῳ, ἢ δὲ ἄμφω ἀδιαχώρητα, ἀ-„πολύτως ἄπειρα, καίτοι λεπτότατα ἐκτεταμένα, ἐκτεταμένον τι συναπο-„τελέσουσι πανταχόθεν ἄπειρον.

## Σχόλιον.

Ἐὰν τῇ δοθείσῃ γραμμῇ Α, καίτοι πάνυ βραχυτάτῃ, προςεθῶσιν ἐπ' εὐθείας ἄπειροι ἄλλαι γραμμαὶ οἱουδηποτοῦν μεγέθους, εἰ τοῦτο γραμμαὶ ὦσι, συναποτελέσουσι γραμμὴν τὴν Α ἄπειρον. Καὶ ἐὰν τῇ ἐπιφανείᾳ Β προςεθῶσιν ἐπ' εὐθείας ἕτεραι ἐπιφάνειαι ἐπ' ἄπειρον, κἂν ὅτι βραχεῖαι, εἰ τοῦτο ὦσιν ἐπιφάνειαι, ἡ ἐπιφάνεια Β ἄπειρος καταςήσεται. Ω῾σαύτως ἐὰν τῷ ςερεῷ Γ, κἂν ὅτι βραχυτάτῳ, προςεθῶσι κἂν ὅτι βραχύτατα ςερεὰ ἄλλα τὸν ἀριθμὸν ἄπειρα, τὸ ςερεὸν Γ πανταχόθεν ἐκβήσεται ἄπειρον. Ω῾ς εἴγε δηλονότι ϗ μονάδι μονάδες ἄπειροι προςεθῶσιν, ἀριθμὸς ἄπειρος προςαθροισθήσεται.

## Πρότ. ϟγ.

„Ἐν παντὶ μέρει τοῦ Σώματος οὐκ εἰσὶν οὐσίαι ἐκτεταμέναι τὸν ἀριθμὸν „ἀπολύτως ἄπειροι.

## Δεῖξις.

Εἰ γὰρ εἰσὶν, ἄρα ἅπαν μέρος τοῦ σώματος ἐξ ἀπειραρίθμων ἀπολύτως ἐκτεταμένων συνέςηκεν. Εἰ δὲ τοῦτο, ϗ πανταχόθεν ἄπειρον ἄρα (Πρ. ϟβ'.). Ἄτοπον δέ. Ἄρα αἱ πρώτιςαι παντὸς σώματος οὐσίαι τὸν ἀριθμὸν πεπερασμέναι εἰσί.

## Σχόλιον.

Ἃ γοῦν ἐκ τῆς Γεωμετρίας ἀνθυποφέρουσιν (1), ἓν τοῦτο δεικνύουσι τὸ ἐπ' ἄπειρον καταμετρητὴν εἶναι τὴν φαντασίᾳ ἐπινουμένην ἔκτασιν, οὐχὶ δὲ ϗ ἐπ' ἄπειρον διαιρεῖσθαι τὴν οὖσαν. Εἰ γὰρ τοῦτο ἐδείκνυον, τὴν φυσικήν, ἥ φασι, ϗ οὐχὶ τὴν μαθηματικὴν, ϗ μεταφυσικὴν διαίρεσιν, εἶπετ' ἂν πᾶσαν ἔκτασιν, ϗ τὴν κενὴν αὐτὴν, φυσικῶς εἶναι διαιρετὴν, ὅπερ οὐδ' οἱ φιλό-

(1) Ρ῾ωάλτιος Φυσ. Κεφ. Θ. §. 4. ϗ 5. Κεῖλιος εἰσαγ. εἰς τὴν ἀληθ. φυσ. Ἀναγν. Γ'. Γραβεζ. εἰσηγ. εἰς τὴν φιλοσ. τοῦ Νεύτ. Βιβλ. Α'. Κεφ. Δ'.

σοφοὶ ἦτοι ἀνέχονται, τὐλάχιστον οἱ τὴν κενὴν ἔκτασιν τὸ τοῦ Θεοῦ αὐτὸ ἄμετρον εἶναι εἰσηγούμενοι. Οἱ μὲν οὖν ἐκ τῆς Φυσικῆς λαμβανόμενοι λόγοι, τὰ μέρη παντὸς σώματος ἄπειρα σχετικῶς μόνον, ἤτοι πρὸς ἡμᾶς μὴ ἐξικνουμένους τὸ πέρας τῆς τούτων διαιρέσεως (ὁρ. ξ΄. Σχόλ.), οὐχὶ δὲ καὶ ἀπολύτως (Σχόλ. Πρ. Λ΄.) κατασκευάζουσι. Καὶ γελοῖον ἄρα τὸ παράδοξον, τὸ ἐκ τῆς φυσικῆς διαιρέσεως ἐπ᾽ ἄπειρον τῆς ὕλης τῷ Γραβεζανδίῳ ἐπιφερόμενον, „ὅτι δοθέντος μορίου ὕλης ὅτι βραχυτάτου, καὶ παντὸς διαστήματος πεπερασμένου (εἶχε δ᾽ ἂν ὑποτεθεῖναι καὶ ἄπειρον), καίτοι εὐρυχωροτάτου, δυνηθῆναι „ἂν τὴν τηλικαύτην ὕλην, οἷον δὴ ψάμμου κόκκον, δι᾽ ὅλου τούτου τοῦ διαστήματος διαχυθῆναι, καὶ τοῦτο οὕτω πληρῶσαι, ὡς μηδένα ἐν αὐτῷ ἐνυπολείπεσθαι πόρον, οὗ ὑπὲρ τὴν ἐλαχίστην δοθεῖσαν γραμμὴν ὑπερεκτείνοιτ᾽ ἂν ἡ „διάμετρος.“ Τοῦτο δήπου ἀληθὲς, ὑποτεθείσης ἐκείνης τῆς διαιρέσεως, κἂν ἄπειρον τεθῇ τὸ διάστημα (ἐκ τῆς ιβ΄. Προτ.). Εἴπερ οὖν ὁ Θεὸς, ὅς τῷ Πλάτωνι γεωμετρεῖν λέγεται, τῇ τοιαύτῃ γεωμετρίᾳ χρήσασθαι εὐδόκησεν, ἐν ᾧ τὸν κόσμον ἐδημιούργει, ἐδημιούργησε πάντως ὅτι ῥᾷστα, παραγαγὼν βραχύτατον, καὶ τὸ σύνολον ἀνεπαίσθητον ὕλης μόριον, καὶ τοῦτο ἐπ᾽ ἄπειρον, ἢ ὅσον ἤρκεσεν ἂν εἰς τὴν τοῦ παντὸς συντάγματος κατασκευὴν διελών. Θαυμαστὸν τοίνυν ὡς οὐκ ἐπῆλθε τοῦτο κατὰ νοῦν τῷ Λωκίῳ περὶ παραγωγῆς τῆς ὕλης διαλεγομένῳ. Ω῎ετο γὰρ ἐκεῖνος τὸ θεῖον διακεκριμένοις μέρεσι τοῦ διαστήματος δύναμιν παρασχεῖν τοῦ ἀντέχειν, κἀντεῦθεν ἀναφῦναι τῆς ὕλης τὸ στεῤῥὸν καὶ ἀδιαχώρητον. Α᾽λλὰ τί ποτε ἀηδέστερον, ἢ οὐσίαν φύσει ἀκίνητόν τε καὶ ἀδιαίρετον, προστεθείσης τῆς τοῦ ἀντέχειν δυνάμεως, εἰς κινητὴν πλάττειν τρέπεσθαι καὶ διαιρετὴν φύσιν; Ταῦτα τὰ ἐξ ἀφαιρέσεως τῶν ἐννοιῶν ἀπὸ τῶν σωμάτων τοῖς φιλοσοφοῦσι διαπλαττόμενα τέρατα.

## Π ρ ό τ. ιγ΄.

„Ε᾽ὰν ἅπαν Σῶμα φυσικῶς ἐπ᾽ ἄπειρον διαιρετὸν ᾖ, ἅπαν σῶμα τρό„πων ἕνωσις ἔσται οὐσίας ἄνευ.

## Δεῖξις.

Οὕτω γὰρ οὐδὲν ἔσται ἐπὶ τοῦ σώματος μέρος ἁπλοῦν, ὡς δῆλον· ἄρα οὐδεμία οὐσία (Πρ. ΚΒ΄.). Α῞παν ἄρα σῶμα, καὶ αὐτὸ δὴ τὸ πᾶν σύνταγμα τῶν σωμάτων, ἕνωσις τρόπων ἔσται ἀνούσιος· τὸ δὲ ἀδύνατον (Πρ. ΠΘ΄.). Α῎ρα κτ.

## Σχόλιον.

Ἔστι μὲν οὖν ἡ δεῖξις αὕτη μεταφυσική, ἡ δ' ἀνωτέρω (Πρ. ιβ'.) φυσική. Ἤρτηται δὲ ἀπὸ τοῦ ὁρισμοῦ τῆς οὐσίας, ὃν ἅπαντες οἱ φιλοσοφοῦντες ἀποδέχεσθαι ὀφείλουσιν. Οὐδεὶς γὰρ ἄν ποτε φαίη οὐσίαν, ὅτι μὴ τὸ πρῶτον ὑποκείμενον, καὶ τὸ ἀπὸ ἄλλου προτέρου μηδαμῶς ἠρτημένον. Αὐτοὶ γοῦν, ὅτι τῶν σωμάτων ὑπάρχειν οὐσίας τινὰς ἐπάναγκες, τὴν μέχρι τινὸς τῆς ὕλης διαίρεσιν ἐπιφέρομεν. Τοὐναντίον δὲ οἱ γεωμετροῦντες, ἐπεὶ ἐς ἄπειρον καταμετρητὴν ἐπινοοῦσι τὴν ἔκτασιν ταῖς κατὰ φαντασίαν εἰκόσιν, ἐπ' ἄπειρον διαιρεῖσθαι τὰ σώματα ἐπιβάλλουσι, καὶ ἀναιροῦσι τὰς σωμάτων οὐσίας μηδὲν ὅλως περὶ τούτων διομολογοῦντες εἰδέναι. Μακρῷ ἄρα ὁ ἡμέτερος λόγος τοῦ ἐκείνων ὑπερέχει, ὥσπερ καὶ Γασσένδῳ, Ὠββίῳ, Λεϊβνιτίῳ, Οὐολφίῳ, ἀνδράσιν ἐν τοῖς γεωμετρικοῖς θαυμαζομένοις, σεσημείωται. Τῷ ὄντι δὲ αἱ μαθηματικαὶ ἀποδείξεις σημείοις ἀμοιροῦσιν, ἐκτάσεως καὶ γραμμαῖς ἀπλατέσιν ἐρειδόμεναι, τῇ φαντασιώδει ἐκτάσει, καὶ οὐχὶ τῇ φυσικῇ ταύτῃ καὶ σωματικῇ συντελοῦσιν (1).

## Πρότ. ιε'.

„ Ἅπασαι αἱ οὐσίαι δυνάμεως τινὸς ἐνεργοῦ εὐμοιροῦσι, τῷ οὐσιώδει αὐτῶν
„ λόγῳ ἐπανηκούσης.

## Δεῖξις.

Οὐ γὰρ ἔχουσι δι' ἀλλήλων χωρεῖν (Πρ. ΞΒ'.)· ἐκτὸς ἄρα ἀλλήλων ἔσονται. Τὸ δὲ πῶς ἂν εἴη, μηδεμιᾶς ταύταις ἐνούσης δυνάμεως τοῦ ἀλλήλαις ἀντέχειν; Ἀλλ' αἱ οὐσίαι οὐσιωδῶς εἰσὶν ἀδιαχώρητοι· ἆρ' οὖν καὶ οὐσιωδῶς δραστήριοι. Ἡ δὲ ἐνεργὸς αὕτη δύναμις κληθείη ἂν εἰκότως καὶ εἶδος τῶν οὐσιῶν. Ὅρα Ἀρσοεκέριον (2).

## Πρότ. ιϛ'.

„ Οὐσιωδῶς ἔνεστι τοῖς Σώμασι δύναμις ἐνεργὸς, ἥτις ἂν εἶδος τῶν σωμά-
„ των κληθείη καὶ φύσις.

## Δεῖξις.

Τὸ τί ἦν εἶναι τῶν σωμάτων κεῖται ἐν τῇ ἑνώσει τῶν ἁπλῶν οὐσιῶν. Ὥσπερ ἄρα οὐσιωδῶς ταῖς ἁπλαῖς οὐσίαις προσιδιάζει τις δύναμις, ἢ ὡς εἶδος ταύταις ἐνοῦσα (Πρ. ιδ'.) καὶ φύσις (ὁρ. λα'.), οὕτω καὶ τοῖς σώμασι.

---

(1) Ὅρα Ὤββιον περὶ ἀρχ. καὶ συλλ. Γεωμ.

(2) Φυσ. Κεφ. Α'.

Ε.Υ.Δ της Κ.τ. ΙΩΑΝΝΙΝΑ 2006

## Σχόλιον.

Πολὺν ὑπέστη ἀγῶνα ὑπὲρ ταύτης τῆς τῶν οὐσιῶν δυνάμεως ὁ Λεϊβνίτιος. „Τὸ ἐνεργεῖν, φησὶ, χαρακτὴρ ἐστιν οὐσιῶν (1)· ταύτην δὲ τὴν τοῦ ἐ„νεργεῖν δύναμιν ἁπάσῃ οὐσίᾳ ἐνεῖναι φημὶ, ἐξ ἧς καὶ ἀεὶ ἐνέργειαν τινὰ ἀνα„φύεσθαι, καὶ οὐδὲ αὐτὴν τὴν σωματικὴν οὐσίαν τοῦ ἐνεργεῖν ποτὲ παύεσθαι. „Τοῦτο δὲ μὴ ὡς χρὴ ἐννοῆσαι ἔοικε τοὺς τὴν οὐσίαν τοῦ σώματος ἐν μόνῃ τῇ „ἐκτάσει, ἢ καὶ ἐν τῷ ἀδιαχώρητον εἶναι θεμένους, καὶ πάντῃ ἠρεμοῦν τὸ σῶμα „δόξαντας προσλαμβάνειν (2). Ὃ γὰρ οὐκ ἐνεργεῖ, καὶ δυνάμεως δραστηρίου ἠμοί„ρησεν, οὐσία οὐκ ἂν εἴη ὅλως (3). Κἀντεῦθεν ἂν δικάσαιμεν χρῆναι ἐν τῇ „σωματικῇ οὐσίᾳ ἐνεῖναι πρώτην τινὰ ἐντελέχειαν, ὡς πρῶτον δεκτικὸν τῆς „ἐνεργήσεως· δύναμιν τουτέστι κινητικὴν πρωτίστην, ἥτις παρὰ τὴν ἔκτασιν καὶ „τὸν ὄγκον προσοῦσα, ἀεὶ μὲν ἐνεργεῖ, ποικίλως ἀλλ' οὖν ὑπὸ τῶν συμ„βολῶν τῶν σωμάτων καὶ ὁρμῶν διατίθεται τρεπομένη. Καὶ αὕτη μὲν αὐ„τὴ ἡ οὐσιώδης τυγχάνει ἀρχὴ, ἥτις ἐπὶ μὲν τῶν ζώντων ψυχὴ, ἐπὶ δὲ τῶν „ἄλλων εἶδος οὐσιῶδες κατονομάζεται (4).“ Μήπου αὕτη εἴη ἡ ζωτικὴ δύναμις, ἣν εἰσῆγε Σπεύσιππος (5); ἢ γοῦν τὸ πλαστικὸν πνεῦμα τὸ κατὰ Νεύτωνα; οὐ δοκεῖ. Αἱ γὰρ κατὰ Λεϊβνίτιον δυνάμεις ἑκάστῃ ἰδίᾳ οὐσίᾳ εἰσὶ προσιδιάζουσαι, οὐχὶ δὲ ταῖς πάσαις μία κοινή. Διὰ δὲ τὸν αὐτὸν λόγον οὐδὲ τὸ πνεῦμα τῶν Στωϊκῶν τοῦτο ἐστὶ, καθ' οὓς πνεῦμα ἓν διὰ πάντων οἰκεῖ, καὶ κατάρδει τὸ πᾶν (6). Ὃ γοῦν ἐν ἐκείνοις προστίθησι Λεϊβνίτιος, τὴν πρώτην ἐκείνην ἐντελέχειαν ποικίλως ταῖς τῶν σωμάτων συμβολαῖς καὶ συγκρούσεσι δι' ὁρμῶν καὶ φορῶν διατίθεσθαι τρεπομένην, οὐχ οὕτως ἐκληπτέον, ὡς εἰ ἐκ μόνης τῆς ἐνούσης δυνάμεως κινοῖτο τὰ σώματα, καὶ κατὰ συστήματα διατάττοιτο. Συνεχῶς γὰρ πειρώμεθα καὶ χωρὶς τῆς οὐσιώδους ἐκείνης δυνάμεως καὶ ἑτέρας τινὰς κινήσεις κινεῖσθαι τὰ σώματα, ὑπὸ ἄλλων αἰτίων ἀναγειρομένας. Ταύτητοι ἡ δύναμις, ᾗ περ αἱ οὐσίαι ἐκεῖναι εἰς ἓν συνέχουσι, καὶ ᾗ τινι βάρυνσιν ἔχει τὰ σώματα, καὶ αἷς ἀλλήλοις προσίασιν, ἢ γοῦν ἀλ-

(1) Πρακτ. Ἀκαδ. Λειψίας ἔτει 1695. Σελ. 145.

(2) Αὐτ. ἔτει 1694. Σελ. 112.

(3) Αὐτ. 1698. Σελ. 439.

(4) Αὐτ. Σελ. 434.

(5) Παρὰ Κικ. Βιβλ. Α'. περὶ φύσ. θεῶν.

(6) Ἡ, φησὶ Μαύλιος παρὰ Λειψίῳ ἐν τῇ Φυσιολογ. τῶν Στωϊκ. Βιβλ. Α'. διαλ. η'.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

λήλων ἀφίστανται, ἤτοι αἱ ἐπίκεντροι καὶ ἀπόκεντροι τῶν δυνάμεων, αἱ ἐπὶ ἑκάστων σωμάτων, καὶ αἱ ἐπὶ τῶν μειζόνων συστημάτων, τῆς δυνάμεως ἐκείνης, περὶ ἧς φαμὲν, εἰκότως διακρίνονται. Καὶ ὀρθῶς ἄρα ὁ Νεύτων τὰς δυνάμεις ταύτας Νόμους τῆς φύσεως ἀποκαλεῖ, καθ' ἃς κατ' ἀρχὰς τὰ ὄντα διαμεμόρφωται, οἷς τε διεξάγεται καὶ διακοσμεῖται. Ἔνθεντοι καὶ σωζομένης τῆς τῶν σωμάτων φύσεως καὶ τῶν οὐσιῶν, κατανοοῦμεν τὰ σώματα τῶν τοιούτων δυνάμεων ἔχειν ἀποστερηθῆναι, τῆς δὲ προτέρας ἐκείνης οὐδαμῶς. Διὸ καὶ Τολάνδος τὴν κίνησιν οὐσιώδη τῇ ὕλῃ εἰπὼν, ὑπὸ τῶν φιλοσόφων οὐκ ἐλέγχεται ὡς τὴν πρώτην ἐκείνην ἐντελέχειαν, ἀλλ' ὡς τὰς δευτέρας ταύτας δυνάμεις τῷ οὐσιώδει τῶν σωμάτων λόγῳ προσανηκούσας ὑπειληφώς.

## Πρότ. ιζ'.

„Πᾶσαι αἱ ἐνεργητικαὶ τοῦ παντὸς δυνάμεις, καὶ αἱ ἀρχαὶ αἱ δραστήριοι, „ἀσώματοι εἰσί.

## Δεῖξις.

Αἱ γὰρ δυνάμεις καὶ ἀρχαὶ αὗται ἴδια εἰσὶ τῶν ἁπλῶν οὐσιῶν· προσήκουσι δὲ τοῖς σώμασι τῷ λόγῳ τῶν ἐν αὐτοῖς ἁπλῶν οὐσιῶν (Πρ. ιε'.)· τούτων. Εἰσὶ δὲ οὐσιώδεις, τοὐλάχιστον αἱ πρῶται ἐκεῖναι, ταῖς ἁπλουστάταις οὐσίαις (Πρ. ιδ'.)· Οὐκ ἄρα σώματα εἰσίν· ἀμέλειτοι αἱ ἁπλαῖ οὐσίαι, αἱ ταῖς δυνάμεσιν ἐκείναις οὐσιωδῶς κεκοσμημέναι, εἰσὶν οἱονεὶ ἀρχαὶ δραστήριοι, καὶ ψυχαὶ τῶν ἐν τῷ παντί.

## Σχόλιον.

Περὶ τῶν τοῦ παντὸς δυνάμεων οὐ μία ἐν τοῖς φιλοσοφοῦσι φέρεται δόξα. Οἱ μὲν οὖν Χαλδαῖοι τὸν κόσμον μὴ μόνον τῷ ὑπερκοσμίῳ ἐκείνῳ φωτὶ διαχωρεῖσθαι ἐνόμισαν, ἀλλὰ καὶ ψυχῇ τινι πηγαίᾳ καὶ καθόλου ἄγεσθαι (1). Ἀναφέρει δὲ καὶ Πλάτων ψυχὴν τοῦ κόσμου τινὰ πολλαχοῦ τε τῶν ἐπιστολῶν αὐτοῦ, καὶ ἐν τῷ Τιμαίῳ, ἔνθα καὶ μέγα ζῶον τὸν κόσμον προσείρηκεν. Ἀλλὰ καὶ τὸ θεῖον καὶ ὅλῳ τῷ κόσμῳ, καὶ τοῖς τούτου μέρεσιν ἐγκεῖσθαι, ἐν ᾧ καὶ τὰ πάντα ζῆν τε, καὶ πνέειν, καὶ τῷ Πυθαγόρᾳ, καὶ τοῖς Στωϊκοῖς πεφιλοσόφηται. Ἀσπάζονται δὲ καὶ καθ' ἡμᾶς τὴν δόξαν πολλοὶ τῶν Περσῶν, καὶ Σιαμίων, καὶ Σινῶν. Ὁ δὲ Τολάνδος, καὶ ὁ τούτου ἀκροατὴς Ἀντώνιος ὁ Κολλῖνος, καὶ Μωσῆν αὐτὸν, καὶ Σολομῶντα διαβάλλουσιν, ὡς ἄρα παραπλήσιόν τι δοξάσαντας,

(1) Ὅρα Σταυλέϊον Ἱστορ. τῆς φιλοσοφ. μέρ. ΙΓ'. Τμ. Β'. Κεφ. Β. καὶ Ζ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΙΩΑΝΝΙΝΑ 2006

ἐν οἷς ὁ μὲν τὸ πνεῦμα τῦ Θεῦ ἐπεφέρετο ἐπὶ τῦ ὕδατος, φησὶν, ἤτοι ἐπὶ τῦ χάυς, ὁ δὲ τὰς ἀνθρώπων ψυχὰς μετὰ θάνατον διδάσκει πρὸς Θεὸν ἐπιςρέφειν, ὥσπερ ϗ τὰ σώματα εἰς τὴν γῆν. Τῦτο δὲ τὸ καθόλυ πνεῦμα, ϗ ἡ τῦ κόσμυ, ᾗ φασὶ, ψυχὴ, ϗ τοῖς Καββαλιςαῖς διεπρεσβεύετο (1). Πνεῦμα ἀρχαῖόν τε ϗ ὑλαρχικὸν προσεῖπον Ἑλμόντιος, καὶ οἱ Χημικοὶ, καὶ Ἑνρῖκος ὁ Μόρος, ϗ ἄλλοι ἐν Ἄγγλοις (2). Ἀλλὰ γὰρ καίτοι πολλὰς ἡ δόξα προςάτας προβάλλεται, φανητιώντων ἀνδρῶν εἰκότως πλάσμα νομίζεται. Ὅτι δ᾽ Ἄγγλοι φανητιῶσι, κἂν ἐξήρκεσαν εἰς μαρτυρίαν τὴν τύτυ αὐτοὶ δὴ οἱ Κυάκυεροι (3). Καὶ ὁ Μόρας δὲ, καίτοι ἄλλως σοφὸς ἀνὴρ, τοιῦτον αὐτὸς ἑαυτὸν, βιογραφήσας τὰ καθ᾽ ἑαυτὸν, ἡμῖν ἀναδείκνυσι. Τί τοίνυν δοξαςέον ἡμῖν περὶ τύτων; ἢ τὰς ἐν τῷ παντὶ οὐσίας ποικίλαις ζωτικαῖς δυνάμεσιν ὑπὸ Θεῦ πλυτισθῆναι, τὰς δ᾽ ἄλλας ἐν τῷ κόσμῳ κινήσεις, αἷς τόδε τὸ σύςημα συγκροτεῖται ϗ συνέχεται, ὑπὸ μόνης τῆς τῦ Θεῦ βυλήσεως ἠρτῆσθαι, ὃ ϗ τῇ ἀποκαλύψει, ϗ τῷ λόγῳ μάλιςα σύμφωνον.

## Πρότ. ιη´.

„Ἡ διαμονὴ ὐκ ἔςιν ὂν διακεκριμένον τῦ διαμένοντος.

## Δεῖξις.

Διαμονὴ γάρ ἐςι συνεχιζομένη τις τῦ ὄντος ὕπαρξις (ὁρ. ξα´.). Ὥσπερ ἄρα ἡ ὕπαρξις τῦ ὑπάρχοντος ὐδαμῶς διακρίνεται, ὕτω κτ:.

## Σχόλιον.

Ἀλλ᾽ εἰ δυνατὸν, ἡ διαμονὴ διακεκρίσθω τῦ διαμένοντος. Τοιγαρῦν ϗ ἡ αἰωνιότης τῦ αἰωνίυ Θεῦ διακριθήσεται. Τὸ δὲ ὂν τῦτο ἡ αἰωνιότης διαμενεῖ καθ᾽ ὕπαρξιν. Ἄρα ϗ ἡ διαμονὴ τῆς αἰωνιότητος διακριθήσεται, ϗ ὕτως ἐπ᾽ ἄπειρον. Μηδ᾽ εἴποι τις ὅτι τὸ περὶ τῆς αἰωνιότητος ἐπὶ τῶν ἄλλων διαμονῶν ἥκιςα ἐπιφέρεται. Ἢν γὰρ ἐπί τινος ὄντος δῆλον ᾖ τὴν διαμονὴν τῦ ὄντος αὐτῦ μὴ διακεκρίσθαι τῦ διαμένοντος, ὐκέτι ἀπορία περὶ ἑτέρυ εἴδυς διαμονῆς ὑπολειφθήσεται. Τύτοις πρόσθες, ὅτι καὶ διακρινομένης τὸ εἶναι τῆς διαμονῆς τῦ διαμένοντος, ἦν ἂν δυνατὸν τὴν διαμονὴν ὑπάρχειν ἄνευ τῶν διαμενόντων, ϗ ἀνάπαλιν. Θαυμάσειέ τις εἰκότως ἐν τύτῳ τῦ οἰκείυ Λεϊβνιτίυ ἀπᾴδειν τὸν Οὐ-

(1) Ὅρα Βυδδαῖον εἰσαγ. εἰς τὴν φιλοσ. τῶν Ἑβρ. Σελ. 318.

(2) Ὅρα διάλεξιν περὶ ψυχ. Κόσμ. Ἀδάμυ τῦ Ῥεχεμβεργ.

(3) Ὅρα Βολτέριον ἐν ἐπιςολ. φιλοσ.



ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ.Δ της Κ.Ε. ΙΩΑΝΝΙΝΑ 2006

ὀλφιον. Τὸ γὰρ τὴν διαμονὴν, ϗ τὸ διάστημα πράγματι τῶν διαμενόντων, ϗ ἐκτεταμένων μηδαμῶς διακεκρῖσθαι, δόγμα ἐςὶ Λεϊβνίτειον.

## Πρότ. ιθ΄.

„Ἐπὶ τῆς αἰωνιότητος διαδοχὴ μὲν φυσικὴ οὐκ ἔςι, μεταφυσικὴν δὲ εἶ-
„ναι ἄτοπον οὐδέν.

## Δεῖξις.

Διαδοχὴ φυσικὴ μεταβολή τις ἐςὶ τῶν ἐν τῷ ὄντι καταςάσεων (ὁρ. ξβ΄.). Τοιαύτη δ᾽ οὐκ ἂν εἴη ἐν τῷ ὄντι τῷ αἰωνίῳ ϗ ἀτρέπτῳ (Πρ. ΙΔ΄.)· οὐδ᾽ ἄρα ἐν τῇ αἰωνιότητι, ἥτις διαμονὴ τυγχάνει τοῦ αἰωνίου (ὁρ. ξγ΄.), τούτου μηδαμῶς διακρινομένη (Πρ. ιη΄.).

Διαδοχὴ δὲ μεταφυσικὴ ἐςὶ συνεχιζομένη τις, ἤτοι ἀδιάλειπτος τοῦ ὄντος ὕπαρξις (ὁρ. ξβ΄.), ἥτις τῆς διαμονῆς ἐςιν ἀδιάζευκτος (ὁρ. ξα΄.). Ἀλλ᾽ ἡ αἰωνιότης διαμονὴ τοῦ αἰωνίου τυγχάνει ὄντος (ὁρ. ξγ΄.). Ἄρα οὐδὲν ἄτοπον κτλ.

## Σχόλιον.

Ἡ δὲ μεταφυσικὴ αὕτη διαδοχὴ οὐδὲν κωλύει τὴν αἰωνιότητα λέγεσθαι ἅμα πᾶσαν, ϗ ὑπερτελῆ ἕξιν ζωῆς ἀπεράντου, ὥσπερ ὥρισται τῷ Βοετίῳ (1)· ϗ τὰ ἔτη τοῦ Θεοῦ ὡς ἡμέρα μία, ϗ ἡ ἡμέρα αὕτη οὐχὶ καθ᾽ ἡμέραν, ἀλλὰ σήμερον, ὡς ὁ Αὐγουςῖνος φησίν (2). Ἥκιςα γὰρ ταῦτα ἡ μεταφυσικὴ αὕτη διαδοχὴ ἀνατρέπει. Πρῶτον γὰρ τοῦ Θεοῦ ἀφορᾷ τὸ ἄτρεπτον τὰ λεγόμενα, δι᾽ ὃ οὐδεμία γένοιτ᾽ ἂν ἐπ᾽ αὐτοῦ διαδοχὴ καταςάσεων. Εἶτα ϗ τὴν θείαν ἀποβλέπουσι γνῶσιν, τὴν νόησιν μὲν οὖσαν ἁπλουςάτην, διαφορὰν δὲ, ϗ διαδοχὴν ἰδεῶν οὐδεμίαν ὑφιςαμένην, ἀλλὰ ἄπειρα δυνατὰ, ϗ τούτων τὴν διαμονὴν μιᾷ προσβολῇ ὑπερτελῶς ἐποπτάνουσαν (3).

Φανερὸν γεμὴν Πλάτωνα (4), ϗ τοὺς περὶ αὐτὸν μικροῦ πάντας (5), ϗ τῶν Σχολαςικῶν τοὺς πλείους, καθ᾽ ἑκάτερον εἶδος τὴν διαδοχὴν πόῤῥω τοῦ Θεοῦ ἀπελαύνειν. Ὃ δ᾽ ὑποβάλλουσιν, ἐκεῖνό ἐςιν, ὡς ἐὰν ἡ διαδοχὴ ἐκείνη ἡ μετα-

---

(1) Περὶ παραμυθ. τῆς φιλοσ. Πρ. ς΄.

(2) Βιβλ. ΙΑ΄. τῶν Ἐξομολ. Κεφ. ΙΔ΄.

(3) Ὅρα Κλέρικον. ἐν Ὀντολογ. Κεφ. Ε΄. §. δ΄.

(4) Ἐν Τιμαίῳ.

(5) Ὅρα Πετάβιον. Θεολ. δογμ. Τόμ. Α΄. Βιβλ. Γ΄. Κεφ. Δ΄.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φυσικὴ χωρήσῃ ἐν τῇ αἰωνιότητι, ἀναγκαίως ἡ τοιαύτη διαμονὴ ἀρχὴν ἕξει (1). Πόθεν; ὐκ ἐξικνῦμαι τὸ ἀκόλυθον.

## Πρότ. Ρ΄.

„Δυνατὸν ἐπιταχύνεσθαι τὴν κίνησιν εἰς ἄπειρον.

### Δεῖξις.

Πρόβλημα δυνατὸν ἐςὶν, εἴτις ὅπως ἔχει γενέσθαι κατασκευάσειε (Πρ. ϛ΄.). Ἆρ' οὖν ἐπιταχύνεσθαι τὴν κίνησιν δυνατὸν εἰς ἄπειρον, ἤν γε δειχθῇ τίνι λόγῳ τῦτο ἔχει γενέσθαι. Ἀλλὰ δοθέντος τῦ σώματος Α ἐν διαςήματι ἀπείρῳ, ϗ κινήσεως αὐτῷ κοινωνυμένης, ἐξίσυ ἐπ' ἄπειρον ταχυνομένης, διαρκύντων ἀεὶ τῶν προτέρων κινημάτων, ἐς ἄπειρον ἡ κίνησις ταχυνθήσεται.

## Πρότ. ΡΑ΄.

„Ὁπόσον ἂν ἐπιταχυνθείη ἡ κίνησις, ἀλλ' ἐν ἀδιαιρέτῳ ὐδέποτε τε„λεσθήσεται, καίτοι ἀκαριαία δόξειεν ἂν διὰ περιυσίαν ταχύτητος.

### Δεῖξις.

Ἡ ὡς ἂν βύλοι ταχίςη κίνησις, ἐνέργεια ἀεὶ ἐςὶν, ᾗ τὸ κινητὸν ἐκ τόπυ εἰς τόπον μεθίςαται (ὁρ. ξε΄.), ϗ δέον ἄρα τὸ κινητὸν κατὰ διαδοχὴν ὑπάρχειν ἐν πλείοσι τόποις. Ἡ δὲ κατὰ διαδοχὴν ἐνέργεια τὴν ὕπαρξιν συνεχιζομένην προϋποτίθησιν, ὡς δῆλον, ἥτε συνεχιζομένη ὕπαρξις διαμονὴ τυγχάνει αὐτόχρημα (Πρ. ΞΑ΄.). Πᾶσα ἄρα κίνησις, κἂν ὅτι ταχίςη, διαμονὴν ἕξει, ὐδ' ἐν ἀκαρεῖ τελεσθήσεται.

### Σχόλιον.

Εἴτις ἄρα δείξειε τὰς ἡμῶν διανοήσεις ἐν ἀδιαιρέτῳ τελεῖσθαι, οὗτος ἐντεῦθεν μηδὲ κίνησιν εἶναι σωματικήν τινα κατασκευάσει τὴν τῦ νῦ ἐνέργειαν· κἀκ τύτυ ϗ ἀπὸ ἀσωμάτυ οὐσίας ἠρτῆσθαι. Ἐπειδὴ δὲ Οὐόλφιος πάσας ἡμῶν τὰς τῆς ψυχῆς ἀντιλήψεις ϗ διανοήσεις ἐν χρόνῳ τελεῖσθαι, ὐδεμίαν δ' ἐν ἀκαρεῖ δεῖξαι πεπείραται, καίτις ϗ ἐν αὐταῖς ἐνορᾶται διαδοχὴ, ὡς ἕκαςος προσέχων ἑαυτῷ σύνοιδε, δυχερὲς ἐκ τύτυ κρατῦναι ϗ πιςώσασθαι τῆς ψυχῆς τὸ ἀσώματον· μάλιςα δ' ὅτι ϗ αἱ τάχιςαι κινήσεις ἀκαριαίαις ἐοίκασιν. Ἐξ ὧν δή.πυ δῆλον ϗ τίποτε ὑποληπτέον περὶ τῶν ἀκαριαίων κινήσεων τῶν ἀγγέλων, ἃς οἱ Σχολαςικοὶ εἰσήνεγκαν.

---

(1) Λιμβόρχιος Θεολ. Χρις. Κεφ. Ε΄. §. 3. Βιβλ. Β΄.



Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006